*Τήν τε οἴησιν ἱερὴν νοῦσον (ἔλεγε καὶ τὴν ὅρασιν ψεύδεσθαι).* B 46

*Μὴ εἰκῆ περὶ τῶν μεγίστων συμβαλλώμεθα.* B 47

*Τῷ οὖν τόξῳ ὄνομα βίος, ἔργον δὲ θάνατος.* B 48

*Εἷς ἐμοὶ μύριοι, ἐὰν ἄριστος ᾖ.* B 49

*Ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν, εἶμέν τε καὶ οὐκ εἶμεν.* B 49 a

*Οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν πάντα εἶναι.* B 50

*Οὐ ξυνιᾶσιν ὅκως διαφερόμενον ἑωυτῷ συμφέρεται· παλίντονος ἁρμονίη ὅκωσπερ τόξου καὶ λύρης.* B 51

*Αἰὼν παῖς ἐστι παίζων πεσσεύων· παιδὸς ἡ βασιληίη.* B 52

*Πόλεμος πάντων μὲν πατήρ ἐστι, πάντων δὲ βασιλεύς, καὶ τοὺς μὲν θεοὺς ἔδειξε τοὺς δὲ ἀνθρώπους, τοὺς μὲν δούλους ἐποίησε τοὺς δὲ ἐλευθέρους.* B 53



SLUB Wir führen Wissen.
http://digital.slub-dresden.de/id416244610/14
UNIVERSITÄT LEIPZIG